9 καὶ ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. [9]καὶ ἔσται κύριος εἰς βασι-
λέα ἐπὶ πᾶσαν τὴν γῆν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος εἷς καὶ
10 τὸ ὄνομα αὐτοῦ ἕν. [10]κυκλῶν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον ἀπὸ
Γαβε ἕως Ρεμμων κατὰ νότον Ιερουσαλημ· Ραμα δὲ ἐπὶ τόπου
μενεῖ ἀπὸ τῆς πύλης Βενιαμιν ἕως τοῦ τόπου τῆς πύλης τῆς πρώ-
της, ἕως τῆς πύλης τῶν γωνιῶν καὶ ἕως τοῦ πύργου Ανανεηλ,
11 ἕως τῶν ὑποληνίων τοῦ βασιλέως. [11]κατοικήσουσιν ἐν αὐτῇ, καὶ
οὐκ ἔσται ἀνάθεμα ἔτι, καὶ κατοικήσει Ιερουσαλημ πεποιθότως.
12 [12]Καὶ αὕτη ἔσται ἡ πτῶσις, ἣν κόψει κύριος πάντας τοὺς λαούς,
ὅσοι ἐπεστράτευσαν ἐπὶ Ιερουσαλημ· τακήσονται αἱ σάρκες αὐτῶν
ἑστηκότων αὐτῶν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ οἱ ὀφθαλμοὶ αὐτῶν
ῥυήσονται ἐκ τῶν ὀπῶν αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν τακήσεται
13 ἐν τῷ στόματι αὐτῶν. [13]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκστασις
κυρίου ἐπ᾽ αὐτοὺς μεγάλη, καὶ ἐπιλήμψονται ἕκαστος τῆς χειρὸς
τοῦ πλησίον αὐτοῦ, καὶ συμπλακήσεται ἡ χεὶρ αὐτοῦ πρὸς χεῖρα
14 τοῦ πλησίον αὐτοῦ. [14]καὶ ὁ Ιουδας παρατάξεται ἐν Ιερουσαλημ
καὶ συνάξει τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν, χρυσίον καὶ
15 ἀργύριον καὶ ἱματισμὸν εἰς πλῆθος σφόδρα. [15]καὶ αὕτη ἔσται ἡ
πτῶσις τῶν ἵππων καὶ τῶν ἡμιόνων καὶ τῶν καμήλων καὶ τῶν
ὄνων καὶ πάντων τῶν κτηνῶν τῶν ὄντων ἐν ταῖς παρεμβολαῖς
16 ἐκείναις κατὰ τὴν πτῶσιν ταύτην. [16]καὶ ἔσται ὅσοι ἐὰν καταλει-
φθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ Ιερουσαλημ, καὶ
ἀναβήσονται κατ᾽ ἐνιαυτὸν τοῦ προσκυνῆσαι τῷ βασιλεῖ κυρίῳ
17 παντοκράτορι καὶ τοῦ ἑορτάζειν τὴν ἑορτὴν τῆς σκηνοπηγίας. [17]καὶ
ἔσται ὅσοι ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς εἰς
Ιερουσαλημ τοῦ προσκυνῆσαι τῷ βασιλεῖ κυρίῳ παντοκράτορι, καὶ
18 οὗτοι ἐκείνοις προστεθήσονται. [18]ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ ἀναβῇ
μηδὲ ἔλθῃ ἐκεῖ, καὶ ἐπὶ τούτοις ἔσται ἡ πτῶσις, ἣν πατάξει κύριος
πάντα τὰ ἔθνη, ὅσα ἐὰν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς
19 σκηνοπηγίας. [19]αὕτη ἔσται ἡ ἁμαρτία Αἰγύπτου καὶ ἡ ἁμαρτία
πάντων τῶν ἐθνῶν, ὅσα ἂν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν
20 τῆς σκηνοπηγίας. [20]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν

10 κυκλων BS*WC†] -κλουν rel. | γαβε BS 393†] -βεε A, -βελ QW, γαβαα *L*, γαβαελ uel -εν *C*† | του τοπου BSC] > AQW; του τοπου / της πυλης tr. *L*† | ανανεηλ unus cod.] αναμεηλ BSAQW, ανενεηλ *L*†, αναμαηλ *C*†: cf. Esdr. II 13 1 | εως ult.] pr. και A*L* || 11 init.] pr. και S^c *L* | κατοικησουσιν] -κουσιν A† | ουκ εσται / αναθεμα AQW] tr. BS*LC* (sed *L*† ουκετι εσται pro ουκ εσται ετι) | ιερουσ. ⌒ 12 ιερουσ. S*† || 12 αι > S*† | αυτων 2° AQW] > BS*LC* | εκ] απο A† || 13 εκεινη] + εσται *L* (in *O* sub ※) | επ αυτους / μεγαλη AQ] tr. BS*LC* | χειρα AQS^c] pr. την BS**LC* || 14 ο AQ] > BS*LC* || 15 και 1° > A† || 16 καταλημφθωσιν A† || 17 αναβωσιν] + εκει A† | των > B† - 18 εκει AQW] > BS*LC* | και > A† | τουτοις AQW] -τους BS*L*, -του *C*† | παταξει κυριος] pr. κυριος A† || 19 εστιν A† | του > BS*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/564 UNIVERSITÄT LEIPZIG